Περὶ τῶν εἰς ωψ.

§. χξζ΄. Τὰ δὲ εἰς οψ, ὡς ἐπὶ τῆς Εὐθείας, οὕτω καὶ ἐπὶ τῆς Γενικῆς ἔχει.

Περὶ τῶν ἀρκτικῶν τε καὶ μεταξὺ χρόνων τῶν Ὀνοματων.

Κανόνες.

§. χξή. Τὸ στερητικὸν α, βραχύ. εἰμὴ διὰ μέτρον μηκύνοιτο. οἷον, καὶ τὸ, ἀθάνατος.

§. χξθ΄. Τὸ α, πρὸ τοῦ β, ἢ μ, ἢ ν, συστέλλεται. ἀνὴρ, ἄβυδος, ἅμιλλα. πλὴν τοῦ ἀμητός.

§. χό. Τὰ ἐκ τοῦ ἀεὶ σύνθετα, ἐκτεταμένον ἔχει τὸ α, ἀέναος, ἀΐδιος.

§. χοά Καθόλου πᾶν δίχρονον ἐκ κράσεως ὂν, ἐκτείνεται. ἱρεὺς, ἵρηξ, μήτι, εὐκλεᾶ.

§. χοβ΄. Ἀνάπαλιν δὲ τὰ δίχρονα μετὰ τὴν διάλυσιν τῶν διφθόγγων συστέλλεται. πάϊς, ἀΐδης, ὀΐομαι, εἰμὴ διὰ μέτρον μηκύνοιτο.

§. χογ΄. Τὸ ι πρὸ τοῦ τ, ἀρκτικὸν ὂν, βραχύ. ἴτυς, ἰτέα.

§. χοδ΄. Τὰ εἰς ακος ὀξύτονα ἐπίθετα, βραχυπαραληκτεῖ· κακὸς, μαλθακος.

§. χοέ. Τὰ εἰς αλος ὀξύτονα ἐπίθετα, βραχυπαραληκτεῖ ὁμαλὸς. ἁπαλος. τὸ δὲ καλὸς καὶ ἐκτείνεται τὸ α.

§. χος΄. Τὰ εἰς ανος, δισύλλαβα ὀξύτονα, μακροπαραληκτεῖ· τρανὸς, φανὸς, μανός. τὰ δὲ τρισύλλαβα, βραχυπαραληκτεῖ λιχανὸς, πιθανός. Πλὴν τοῦ ἱκανός τὰ δὲ ὑπὲρ τὴν τρισυλλαβίαν, ἐκτείνει τὸ α